τῶν προσώπων. πέντε τοίνυν παραλαμβάνεται πρόσωπα,
Σωκράτης Χαιρεφῶν Γοργίας Πῶλος Καλλικλῆς. ἀναλογεῖ τοίνυν ὁ μὲν Σωκράτης τῷ νοερῷ καὶ ἐπιστημονικῷ,
ὁ δὲ Χαιρεφῶν τῷ ὀρθοδοξαστικῷ, ὁ δὲ Γοργίας τῷ διεστραμμένῳ (οὗτος γὰρ οὐ πάνυ ἦν κατακρατηθεὶς τῇ
ἀδικίᾳ ἀλλ᾽ ἀμφιβόλως εἶχεν εἰ πεισθείη ἢ μή), ὁ δὲ Πῶλος
τῇ ἀδικίᾳ καὶ τῷ μόνως φιλοτίμῳ, ὁ δὲ Καλλικλῆς τῷ
ὑώδει καὶ φιληδόνῳ. ἀποροῦσι δέ τινες διὰ ποίαν αἰτίαν
οἱ μὲν ῥήτορές εἰσι τρεῖς, | οἱ δὲ φιλόσοφοι δύο, διὰ τί ὁ 6
μὲν τῶν ῥητόρων ἀριθμὸς ἀδιαίρετος, ὁ δὲ τῶν φιλοσόφων
διαιρετός. φαμὲν ὅτι οὐκ ἀληθὲς τοῦτο. ὁ γὰρ Σωκράτης
μονάδα μιμεῖται πρὸς τὸ ἓν ὁρῶν· ἁπλοῦς γὰρ ὁ θεὸς ἐξ
οὐδενὸς παραγόμενος, ὅθεν καὶ ὕμνος λέγεται εἰς αὐτὸν
φάσκων

'ἐξ οὗ πάντα πέφηνε, σὺ δ᾽ οὐδενὸς οὕνεκα μοῦνος'·

καὶ ὁ Χαιρεφῶν δὲ μονάδα μιμεῖται, ἀλλ᾽ οὗτος μὲν
ἔνυλον καὶ ἀχώριστον ὕλης, ἐκεῖνος δὲ χωριστήν. καὶ
ἐπειδὴ ἀμέσως τὰ χείρονα πρὸς τὰ κρείττονα οὐ χωρεῖ ἢ
τὰ κρείττονα πρὸς τὰ χείρονα, διὰ τοῦτό ἐστιν ὁ Χαιρεφῶν μέσην τάξιν ἔχων καὶ ὀφείλων διαπορθμεύειν τὰ παρ᾽
αὐτῶν.

Ὑπόλοιπον ζητῆσαι πῶς μέμνηται Γοργίου. λέγομεν 9
τοίνυν ὅτι πρῶτον μὲν οὐδὲν ἄτοπον τὸν γράφοντα ἱστορεῖν
καὶ ἀγνώστους ἀνθρώπους καὶ ποιεῖν αὐτοὺς διαλεγομένους. δεύτερον δὲ ἐροῦμεν ὅτι ἐπὶ τῶν αὐτῶν χρόνων

**mg.** **8.11** ἀπορία | λύσις

| | | | |
|---|---|---|---|
| **11** (mg. sup.) | κρεῖττον | Σωκράτης | μονὰς ἄυλος |
| | μέσον | Χαιρεφῶν | μονὰς ἔνυλος |
| | χείρονα | οἱ λοιποὶ τρεῖς | πλῆθος ὑλικόν |

**22** ε´ — ὅτι οἱ ἐν τῷ διαλόγῳ ὁμόχρονοι